# ΕΘΝΙΚΟΝ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΑΘΗΝΩΝ

## ΨΗΦΙΣΜΑ
## ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΒΙΟΛΟΓΙΑΣ
## ΤΗΣ ΣΧΟΛΗΣ ΘΕΤΙΚΩΝ ΕΠΙΣΤΗΜΩΝ

ΤΥΧῌ ΑΓΑΘῌ

Πρυτανεύοντος ἐν τῷ Ἀθήνησιν Ἐθνικῷ καὶ Καποδιστριακῷ Πανεπιστημίῳ Χρήστου Ν. Κίττα, Κοσμητεύοντος ἐν τῇ Σχολῇ Θετικῶν Ἐπιστημῶν Χαραλάμπους Θ. Παπαγεωργίου, Προεδρεύοντος ἐν τῷ Τμήματι Βιολογίας Κωνσταντίνου Ἀρ. Θάνου, ἔδοξεν ὁμοθύμως τῷ Τμήματι·

## ΦΩΤΙΟΝ ΚΑΦΑΤΟΝ

Κρήτης ἀγλαὸν τέκνον, ἄνδρα εὖ πεφυκότα, τοὺς τῶν Μουσῶν εὐανθεῖς λειμῶνας λιπόντα, τὰ ἀρτιφανῆ δὲ τῆς ἐπιστήμης τῆς Βιολογίας πεδία ἑλόμενον καὶ πέραν τοῦ Ὠκεανοῦ ἐν περιπύστοις πανδιδακτηρίοις σπουδάσαντα, ζήλῳ τε καὶ μόχθῳ ἀκοιμήτῳ τὰ μὲν τῆς ζωῆς στοιχεῖα, τὰ ἐλάχιστα, ἐταστικῷ ὄμματι καὶ τεχνήμονι διανοίᾳ μικροσκοποῦντα, γονιδίων χημικὴν φύσιν καὶ ποικιλίαν καὶ μεταλλαγάς, τὸ δὲ τοῦ ἀνωφελοῦς κώνωπος γονιδίωμα πειραμάτων συστάσει ἐλέγχοντα, ἐγνωσμένον αὐτῷ φιλανθρώπως καὶ φιλιάτρως διακειμένῳ, τὰ τῆς ἐρεύνης εὑρήματα πρὸς ἴασιν τῆς τῶν ἑλῶν ἀνθρωποκτόνου νόσου παρασχεῖν, τὸν ἄνδρα τόνδε τὸν τὴν ἐπιστήμην ἐπὶ τὰ πρόσω ἀγαγόντα, τὸν διδαχῇ τελεσφόρῳ μαθητὰς ἀναδείξαντα, τον παρὰ τῶν ὁμοτέχνων εὔκλειαν κτησάμενον καὶ τὸ τῆς γενετείρας καὶ τῆς Ἑλλάδος τιμῶντα ὄνομα, ἐπαινέσαι τε αὐτόν καὶ ἐπίτιμον διδάκτορα ἀναδεῖξαι, τὸ δὲ ψήφισμα τόδε εἰς μεμβράναν ἀναγράψαι καὶ τὸν τοῦ Τμήματος Πρόεδρον ἐν τῇ αἰθούσῃ τῇ μεγάλῃ ἀναγνόντα καὶ τὰς τιμὰς ἀνειπόντα ἐπιδοῦναι αὐτῷ, ᾗ ἂν ἡμέρᾳ ἡ ἀναγόρευσις γένηται, καθ' ἃ νενόμισται.

Ἐγένετο Ἀθήνησι, μηνός Ὀκτωβρίου πέμπτῃ καὶ δεκάτῃ, ἔτει ὀγδόῳ καὶ δισχιλιοστῷ.

Ὁ Πρόεδρος τοῦ Τμήματος Βιολογίας

ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΑΡ. ΘΑΝΟΣ

# ΑΝΑΓΟΡΕΥΣΙΣ

Ἐπειδήπερ τὸ Τμῆμα Βιολογίας τῆς τῶν Θετικῶν Ἐπιστημῶν Σχολῆς τοῦ Ἀθήνησιν Ἐθνικοῦ καὶ Καποδιστριακοῦ Πανεπιστημίου τὸν

ΦΩΤΙΟΝ ΚΑΦΑΤΟΝ

ἄξιον ἀπέφηνε τοῦ ἐπιτίμου διδακτορικοῦ ἀξιώματος, ὁ δὲ Πρύτανις τῇ τοῦ Τμήματος γνώμῃ ἐπινεύει, διά ταῦτα ἐγώ

ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΑΡ. ΘΑΝΟΣ

καθηγητὴς τῆς Φυσιολογίας τῶν Φυτῶν, νῦν δὲ τοῦ Τμήματος Βιολογίας Πρόεδρος, χρώμενος τῇ δυνάμει, ἣν παρὰ τῶν πανεπιστημιακῶν νόμων καὶ τοῦ Τμήματος ἔχω λαβών, τὸν

ΦΩΤΙΟΝ ΚΑΦΑΤΟΝ

ἐπίτιμον διδάκτορα τοῦ Τμήματος Βιολογίας καὶ τῆς Σχολῆς Θετικῶν Ἐπιστημῶν τοῦ Ἀθήνησι Πανεπιστημίου δημοσίᾳ ἀναγορεύω καὶ πάσας τὰς προνομίας τὰς τῷ πανεπιστημιακῷ τούτῳ ἀξιώματι παρεπομένας ἀπονέμω.

Ἐγένετο Ἀθήνησι, μηνός Μαρτίου ἑβδόμῃ καὶ εἰκοστῇ, ἔτει ἐνάτῳ καὶ δισχιλιοστῷ.

Ὁ Πρόεδρος τοῦ Τμήματος Βιολογίας

ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΑΡ. ΘΑΝΟΣ

# ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ

ΠΡΥΤΑΝΕΥΟΝΤΟΣ

ΕΝ Τῼ ΑΘΗΝΗΣΙΝ ΕΘΝΙΚῼ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚῼ ΠΑΝΕΠΙΣΤΗΜΙῼ

## ΧΡΗΣΤΟΥ Ν. ΚΙΤΤΑ

ΚΑΘΗΓΗΤΟΥ ΤΗΣ ΙΣΤΟΛΟΓΙΑΣ ΚΑΙ ΕΜΒΡΥΟΛΟΓΙΑΣ

ΚΟΣΜΗΤΕΥΟΝΤΟΣ

ΕΝ Τῌ ΣΧΟΛῌ ΘΕΤΙΚΩΝ ΕΠΙΣΤΗΜΩΝ

## ΧΑΡΑΛΑΜΠΟΥΣ Θ. ΠΑΠΑΓΕΩΡΓΙΟΥ

ΚΑΘΗΓΗΤΟΥ ΤΩΝ ΠΙΘΑΝΟΤΗΤΩΝ ΚΑΙ ΤΗΣ ΣΤΑΤΙΣΤΙΚΗΣ

## ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΑΡ. ΘΑΝΟΣ

ΑΝΑΠΛΗΡΩΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΤΗΣ ΦΥΣΙΟΛΟΓΙΑΣ ΤΩΝ ΦΥΤΩΝ

ΕΠΙ ΔΕ ΤΟΥ ΠΑΡΟΝΤΟΣ ΠΡΟΕΔΡΟΣ ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΒΙΟΛΟΓΙΑΣ

## ΦΩΤΙΟΝ ΚΑΦΑΤΟΝ

ΑΠΟ ΔΟΓΜΑΤΟΣ ΟΜΟΘΥΜΟΥ ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΒΙΟΛΟΓΙΑΣ

ΤΗΣ ΤΩΝ ΘΕΤΙΚΩΝ ΕΠΙΣΤΗΜΩΝ ΣΧΟΛΗΣ

ΕΙΣ ΤΟΥΣ ΕΠΙΤΙΜΟΥΣ ΔΙΔΑΚΤΟΡΑΣ ΕΝΕΚΡΙΝΕ

ΜΗΝΟΣ ΜΑΡΤΙΟΥ ΕΒΔΟΜῌ ΚΑΙ ΕΙΚΟΣΤῌ

ΕΤΕΙ ΕΝΑΤῼ ΚΑΙ ΔΙΣΧΙΛΙΟΣΤῼ

Ο ΠΡΥΤΑΝΙΣ

ΧΡΗΣΤΟΣ Ν. ΚΙΤΤΑΣ

Ο ΚΟΣΜΗΤΩΡ

ΧΑΡΑΛΑΜΠΟΣ Θ. ΠΑΠΑΓΕΩΡΓΙΟΥ

Ο ΠΡΟΕΔΡΟΣ
ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΒΙΟΛΟΓΙΑΣ

ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΑΡ. ΘΑΝΟΣ

Ο ΠΡΟΪΣΤΑΜΕΝΟΣ ΓΡΑΜΜΑΤΕΙΑΣ

ΠΑΝΑΓΙΩΤΗΣ ΙΩ. ΚΟΝΤΟΣ